στήσεται ἡ καρδία σου; εἰ κρατήσουσιν αἱ χεῖρές σου ἐν ταῖς
ἡμέραις, αἷς ἐγὼ ποιῶ ἐν σοί; ἐγὼ κύριος λελάληκα καὶ ποιήσω.
15 [15]καὶ διασκορπιῶ σε ἐν τοῖς ἔθνεσιν καὶ διασπερῶ σε ἐν ταῖς
16 χώραις, καὶ ἐκλείψει ἡ ἀκαθαρσία σου ἐκ σοῦ, [16]καὶ κατακληρονο-
μήσω ἐν σοὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἐθνῶν· καὶ γνώσεσθε διότι ἐγὼ
17 18 κύριος. — [17]καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [18]Υἱὲ ἀν-
θρώπου, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ισραηλ ἀναμεμειγμένοι πάντες
χαλκῷ καὶ σιδήρῳ καὶ κασσιτέρῳ καὶ μολίβῳ, ἐν μέσῳ ἀργυρίου
19 ἀναμεμειγμένος ἐστίν. [19]διὰ τοῦτο εἰπόν Τάδε λέγει κύριος Ἀνθ᾽
ὧν ἐγένεσθε πάντες εἰς σύγκρασιν μίαν, διὰ τοῦτο ἐγὼ εἰσδέχομαι
20 ὑμᾶς εἰς μέσον Ιερουσαλημ. [20]καθὼς εἰσδέχεται ἄργυρος καὶ χαλ-
κὸς καὶ σίδηρος καὶ κασσίτερος καὶ μόλιβος εἰς μέσον καμίνου
τοῦ ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ τοῦ χωνευθῆναι, οὕτως εἰσδέξομαι
21 ὑμᾶς ἐν ὀργῇ μου καὶ συνάξω καὶ χωνεύσω ὑμᾶς [21]καὶ ἐκφυσήσω
ἐφ᾽ ὑμᾶς ἐν πυρὶ ὀργῆς μου, καὶ χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς.
22 [22]ὃν τρόπον χωνεύεται ἀργύριον ἐν μέσῳ καμίνου, οὕτως χωνευθή-
σεσθε ἐν μέσῳ αὐτῆς· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος ἐξέχεα
23 τὸν θυμόν μου ἐφ᾽ ὑμᾶς. — [23]καὶ ἐγένετο λόγος κυρίου πρός με
24 λέγων [24]Υἱὲ ἀνθρώπου, εἰπὸν αὐτῇ Σὺ εἶ γῆ ἡ οὐ βρεχομένη, οὐδὲ
25 ὑετὸς ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς· [25]ἧς οἱ ἀφηγούμενοι ἐν
μέσῳ αὐτῆς ὡς λέοντες ὠρυόμενοι ἁρπάζοντες ἁρπάγματα, ψυχὰς
κατεσθίοντες ἐν δυναστείᾳ, τιμὰς λαμβάνοντες ἐν ἀδικίᾳ, καὶ αἱ
26 χῆραί σου ἐπληθύνθησαν ἐν μέσῳ σου. [26]καὶ οἱ ἱερεῖς αὐτῆς ἠθέ-
τησαν νόμον μου καὶ ἐβεβήλουν τὰ ἅγιά μου· ἀνὰ μέσον ἁγίου
καὶ βεβήλου οὐ διέστελλον καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ τοῦ κα-
θαροῦ οὐ διέστελλον καὶ ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον
27 τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν. [27]οἱ
ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς ὡς λύκοι ἁρπάζοντες ἁρπάγματα
28 τοῦ ἐκχέαι αἷμα, ὅπως πλεονεξίᾳ πλεονεκτῶσιν. [28]καὶ οἱ προφῆται
αὐτῆς ἀλείφοντες αὐτοὺς πεσοῦνται, ὁρῶντες μάταια, μαντευόμενοι
29 ψευδῆ, λέγοντες Τάδε λέγει κύριος, καὶ κύριος οὐ λελάληκεν· [29]λαὸν

16 εν σοι] σε A | κατ οφθ.] ενωπιον A | γνωση A = 𝔐 | διοτι] οτι A || 18 γεγονασι ... αναμεμειγμενοι] γεγονεν ... -μενος A | μοι > A | παντες > A† | μολιβδω A: item(-βδος) in 20, cf. Thack. p. 96 || 19 κυριος] + κυριος ο θεος A: cf. 14 6 | παντες > B† | εγω] pr. ιδου A = 𝔐 || 20 καμινου] + πυρος A | εκφυσησαι] εμφ. A, sed in 21 etiam A εκφυσησω | αυτο] -τα A | χωνευθηναι] -νευσαι A† | υμας paenult. > B = 𝔐 | μου] + και εν τω θυμω μου A (in *O* sub ※) || 21 εφ] εις A | υμας] + εκφυσημα A(†) || 24 η > A | εγεν. — fin.] καταβησεται σοι A || 25 ης οι αφηγ.] οι αφηγ. αυτης A | ωρυομ.] ερευγομενοι A | εν 2°] pr. εδυναστευσαν A | τιμας] δωρα A; pr. και B = 𝔐 | λαμβανοντες] ελαμβανον A† | εν αδικια > B = 𝔐 | αι > A || 26 νομον] pr. τον A | εβεβηλουμην] τα σαββατα μου εβεβηλουν A || 28 αλειφ.] pr. οι A | ορωντες] pr. οι A† | κυριος paenult.] pr. αδωναι QV*C*pau.: cf. 5 5 | ου λελαλ.] ουκ ελαλησεν A || 29 λαον] pr. τον A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/812 UNIVERSITÄT LEIPZIG